www.tezaurliturgic.ro

# ΕΓΚΩΜΙΑ & ΕΥΛΟΓΗΤΑΡΙΑ

# ΤΟΥ ΟΣΙΟΥ ΓΕΡΑΣΙΜΟΥ ΤΟΥ ΝΕΟΥ,

# ΤΟΥ ΕΝ ΠΗΛΙΩ ΑΣΚΗΣΑΝΤΟΣ

(ἑορταζομένου τῇ 15η Σεπτεμβρίου)

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵ϐβ' * 2002 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΕΓΚΩΜΙΑ ΚΑΤ᾽ ΑΛΦΑΒΗΤΟΝ ΤΟΥ ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΕΡΑΣΙΜΟΥ ΤΟΥ ΝΕΟΥ, ΤΟΥ ΕΝ ΠΗΛΙΩ

* * *

*Στάσις α΄. Ἦχος πλ.α΄. Ἡ ζωὴ ἐν τάφω.*

Τὴν ζωὴν τὴν ὄντως,
ἀγαπήσας σοφέ,
τὰς τοῦ κόσμου ἡδονὰς κατεφρόνησας,
ὦ Γεράσιμε ἡμῶν καθηγητά.

᾿Αθανάτου δόξης,
ποθητὴς γεγονώς,
ἐκ παιδὸς Χριστοῦ ὀπίσω προσέτρεξας,
καὶ ἐδέξω γέρας θείων ἀρετῶν.

Βεβλημένος βέλει,
τῆς ἀγάπης Χριστοῦ,
ὡσεὶ ἔλαφος ἐρήμους κατέλαβες,
ἐκζητῶν τὸ ὕδωρ, Πάτερ, τῆς ζωῆς.

Γεωργήσας φόβῳ,
τοῦ Θεοῦ σὴν ψυχήν,
τὰ ζιζάνια παθῶν ἀπεῤῥίζωσας,
καὶ ἐφύτευσας τὰ δένδρα ἀρετῶν.

Διαβόλου πάσας,
τὰς παγίδας σοφῶς,
ὦ Γεράσιμε, διέλυες πάντοτε,
τῷ ὀνόματι Κυρίου ᾿Ιησοῦ.

᾿Επιγνοὺς ἐκ πείρας,
τὸν γλυκὺν ᾿Ιησοῦν,
τὸν σὸν νοῦν αὐτῷ προσήλωσας ῞Οσιε,
ἐκτρυγῶν εὐχῆς τὸ μέλι δαψιλῶς.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ζῶν σαρκὶ ὦ Πάτερ,
ὡς ἀσώματος νοῦς,
τῇ ἀσκήσει σου ἐφαίνου, Γεράσιμε,
προγευόμενος τῆς δόξης οὐρανῶν.

Ἡ σὴ πολιτεία,
καὶ τὰ ἆθλα κανών,
ὦ Γεράσιμε, μονάζουσι δέδεικνται,
καὶ πυξὶς πρὸς τὴν αἰώνιον ζωήν.

Θεῖον θαῦμα ὄντως
ἡ ζωή σου ἐν γῇ,
τοῖς πιστοῖς ἐδείχθη, πάτερ Γεράσιμε,
οὓς ὡδήγεις ἀσφαλῶς πρὸς τὸν Χριστόν.

Ἱεροσολύμων,
προσκυνήσας σεπτά,
ἁγιάσματα, Γεράσιμε, ἔρωτα,
προσεπηύξησας Χριστοῦ τοῦ Λυτρωτοῦ.

Καθαρὸν τηρήσας,
σεαυτὸν μολυσμῶν,
ἠξιώθης, θεοφόρε Γεράσιμε,
τῆς τιμῆς ἱερωσύνης ἐκ Χριστοῦ.

Λέων πῦρ ἐκπνέων,
τῆς ἀγάπης Χριστοῦ,
ἐγεγόνεις κατακαίων, Γεράσιμε,
ἀκανθώδεις λογισμοὺς ὁλοσχερῶς.

Μετανοίας κήρυξ,
φλογερὸς τοῖς πιστοῖς,
ὡς ὁ Πρόδρομος ἐφάνης, Γεράσιμε,
σωτηρίαν ἀδελφῶν ἐπιποθῶν.

Νεοσσὸς καθάπερ,
καλιὰν ἐφευρών,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν Μονὴν τῆς Σουρβιᾶς προετίμησας,
ἡσυχάσας καρποφόρως ἐν Χριστῷ.

Ξενιτείαν, Πάτερ,
ἰσοβίως ἀσκῶν,
ἐν κρυφῇ τοὺς σοὺς ἀγῶνας ἐτέλεσας,
οὓς καλῶς ἐπιγινώσκει ὁ Θεός.

Ὁλικῶς καρδίαν,
διανοίξας Χριστῷ,
πλήρης Πνεύματος Ἁγίου, Γεράσιμε,
ἐγεγόνεις δι᾽ ὃ θαύματα τελεῖς.

Παιδογόνους στεῖρας,
δείκνυς, Πάτερ, εὐχῇ,
καὶ ἰᾶσαι τὰ ποικίλα νοσήματα,
ἐπικλήσει τῆς δυνάμεως Χριστοῦ.

Ῥεῖθρα θαυμασίων,
χέει κάρα ἡ σή,
ἐν Μονῇ σου, θεῖε πάτερ Γεράσιμε,
πᾶσαν νόσον θεραπεύουσα πιστῶν.

Σοῦ τῇ εὐλογίᾳ,
ἐξηράνθη εὐθύς,
λίμνη ὅτε ἁλιεῖς σοὶ ἠσέβησαν,
οὓς ἐδίδαξας νηστείαν πρακτικῶς.

Τῆς τοῦ διαβόλου,
λύσσης σῶσον ἡμᾶς,
ὃς λυττῶντα λύκον, Πάτερ, ἀπέστειλας,
προσβαλοῦσι θεῖον σχῆμα μοναστῶν.
Ὑπὲρ τῆς Μονῆς σου,
ἐξιλέου Χριστόν,
καὶ λαοῦ τῆς Μαγνησίας, Γεράσιμε,
τῶν τιμώντων τὴν σὴν μνήμην ἐκ ψυχῆς.
Φρίττει τῶν δαιμόνων,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἡ πληθὺς καὶ εὐθύς,
καταλείπει ἐλευθέρους τῇ κλήσει σου,
δαιμονῶντας, ὦ Γεράσιμε κλεινέ.

Χάριν δίδου, Πάτερ,
τοῖς τιμῶσι πιστῶς,
τὴν ἁγίαν καὶ σεπτήν σου πανήγυριν,
καὶ ἀξίωσον τῆς δόξης οὐρανοῦ.

Ψυχικῶν σφαλμάτων,
σαῖς διόρθου εὐχαῖς,
τοὺς τιμῶντάς σε, φιλότεκνε Ὅσιε,
καὶ ἀνάδειξον οἰκήματα Χριστοῦ.

Ὡς ἐν βίῳ, Πάτερ,
οὕτω νῦν σῆς Μονῆς,
κηδεμὼν καὶ φροντιστὴς μένε πάντοτε,
ὦ Γεράσιμε, τῶν τέκνων σου χαρά.

*Δόξα. Τριαδικόν.*

Πάτερ, Λόγε, Πνεῦμα,
Παναγία Τριάς,
Γερασίμου ταῖς πρεσβείαις προστάτευε,
Ὀρθοδόξους καὶ πιστοὺς χριστιανούς.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε Μῆτερ,
μοναστῶν ἡ ἐλπίς,
σὺν τῷ θείῳ Γερασίμῳ ἱκέτευε,
ὑπὲρ δούλων σου γλυκύτατον Χριστόν.

## *Στάσις β΄. Ἦχος πλ.α΄. Ἄξιόν ἐστιν.*

Ἄξιόν ἐστιν,
μακαρίζειν σου τὴν θείαν μνήμην,

πάτερ χριστοφόρε Γεράσιμε,
καὶ τιμᾶν σε ἐν ᾠδαῖς χαρμονικαῖς.
Ἄνωθεν λαβών,
ἐκ Θεοῦ, Γεράσιμε, τὴν κλῆσιν,
ἦρας τὸν σταυρόν σου ἀπὸ παιδός,
καὶ ἐπόθησας τὸν βίον μοναστῶν.

Βάρη κοσμικῆς,
προσπαθείας, Πάτερ, ἀπεσείσω,
καὶ διψητικῶς ὄπισθεν Χριστοῦ,
ἐπορεύθης τῇ τηρήσει ἐντολῶν.

Γέρας ζωηρόν,
ἐκ Κυρίου εἴληφας τρισμάκαρ,
στέφος ὁσιότητος καὶ ζωῆς,
συνωνύμως θείᾳ κλήσει σου, σοφέ.

Δοὺς ἀσκητικούς,
τῷ Δεσπότῃ, Ὅσιε, ἱδρῶτας,
Πνεύματος τὴν χάριν ἀντείληφας,
δι᾽ ἧς μέτοχος ἐγένου οὐρανοῦ.

Ἔρωτι θερμῷ,
ἐπορεύθης εἰς Ἁγίους Τόπους,
ἔνθα ἐπτερώθη ὁ ζῆλός σου,
ἀναπλάσαντος τὸν βίον τοῦ Χριστοῦ.

Ζῶν ἀγγελικῶς,
θείαν χάριν εἴληφας ἱερωσύνης,
καὶ χριστοπρεπῶς, Πάτερ, τῷ Χριστῷ,
τὴν θυσίαν ἱερούργεις τὴν φρικτήν.
Ἥσυχον τόν νοῦν,
τῇ εὐχῇ διατηρήσας, Πάτερ,
δράγματα πολλὰ εἰς θημωνιάν,
ἐπεστοίβασας ὡς νήψεως καρπούς.

Θεὶς ζυγῷ Χριστοῦ,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸν αὐχένα, Ὅσιε, ψυχῆς σου,
πάντων τῶν φθαρτῶν κατεφρόνησας,
καὶ ἀπέδωκας καρποὺς πνευματικούς.

Ἴθυνας ψυχάς,
εἰς μετάνοιαν κηρύγματί σου,
ὡς ὁ Βαπτιστὴς χώρας διελθών,
ὦ Γεράσιμε, ἀγάπῃ ἀδελφῶν.

Κρήνη δαψιλής,
καὶ πηγὴ θαυμάτων ὤφθης,
νόσους τῶν ψυχῶν καὶ τοῦ σώματος,
ἰατρεύων ἐπικλήσει τοῦ Χριστοῦ.

Λύεις εὐχερῶς,
γυναικῶν στειρευουσῶν τὴν δέσιν,
καὶ μητέρας ταύτας τέκνων δεικνύς,
ἀντεισάγεις ἀντὶ λύπης τὴν χαράν.

Μνήμην ἐσχηκώς,
ὦ Γεράσιμε, πικροῦ θανάτου,
σεαυτὸν σταυρῷ τῷ δεσποτικῷ,
ἐκαθήλωσας ποθῶν θείαν ζωήν.

Νόμον τοῦ Χριστοῦ,
ἐκδιδάξας, Πάτερ, ἁλιεῦσιν,
λίμνην ἀπεξήρανας πρὸς καιρόν,
καὶ ἐκύρωσας νηστείας τὴν ἰσχύν.
Ξένον ἀληθῶς
ἐν βατράχοις, Ὅσιε, σὸν θαῦμα,
οὓς ἀφώνους ἔδειξας τῇ εὐχῇ,
τριετῆ σιγήν αὐτοῖς ἐπιβαλὼν.

Ὄχλους πονηρούς,
φυγαδεύεις, Πάτερ, δαιμονίων,
φρίττουσι γὰρ λείψανα βλέποντες,
χαριτόβρυτα τιμίας σου σοροῦ.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πάτερ, σὴν Μονήν,
διαφύλαττε παντοίας βλάβης,
καὶ μοναζουσῶν γλύκανον ζωήν,
ἱκετεύων τὸν φιλάνθρωπον Χριστόν.

Ῥῶσιν ταῖς ψυχαῖς,
καὶ τοῖς σώμασι τῶν σὲ τιμώντων,
πάρεχε, ὦ πάτερ Γεράσιμε,
ἐκζητούντων σὴν ταχεῖαν ἀῤῥωγήν.

Συσταυρώσας νοῦν,
καὶ καρδίαν σου τῷ Σταυρωθέντι,
τούτῳ τὴν ψυχήν σου, Γεράσιμε,
παραδέδωκας ἡμέρᾳ τοῦ Σταυροῦ.

Τὴν σὴν τελευτήν,
προειδὼς τοῖς μαθηταῖς σου, Πάτερ,
πλοῦτον διδαχῶν τούτοις ἔλιπες,
ὅπως εὕρωσι Παράδεισον γλυκύν.

Ὕμνοις καὶ ᾠδαῖς,
σὴν χαρμόσυνον τιμῶμεν μνήμην,
ὅθεν ἀντιδώρως, Γεράσιμε,
τὰς ἁγίας σου κατάπεμψον εὐχάς.

Φῶς τὸ ποθητόν,
νῦν προσώπου καθορῶν Κυρίου,
μέμνησο σῶν τέκνων, Γεράσιμε,
καὶ καρδίας καταφώτισον φαιδρῶς.
Χρέος υἱικόν,
ἐκπληροῦντες σου ἁγίαν μνήμην,
σήμερον, Γεράσιμε, ἄγομεν,
ὡς μεσίτην σε πλουτοῦντες πρὸς Χριστόν.

Ψάλλοντας τὰ σά,
κατορθώματα καὶ ἆθλα, Πάτερ,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

θείας ὑμνῳδίας ἀξίωσον,
σὺν χοροῖς ἀγγελικοῖς ἐν οὐρανῷ.

Ὡς ταύτης Μονῆς,
βάσιν τέκνα σου ἐπεγνωκότα,
πάντοτε ἐν σοὶ στηριζόμεθα,
ὦ Γεράσιμε, θαυμάτων παροχεῦ.

*Δόξα. Τριαδικόν.*

Πάτερ σὺν Υἱῷ,
καὶ τῷ Πνεύματι τῷ παναγίῳ,
θείου Γερασίμου προσδέχθητι,
τὰς εὐχὰς ὑπὲρ ἡμῶν τὰς πατρικάς.

*Καὶ νῦν. Θεοτοκίον.*

Μῆτερ τοῦ Θεοῦ,
καθικέτευε Αὐτὸν σὺν Γερασίμῳ,
ὅπως δῷ ἡμῖν τῶν ἁμαρτιῶν,
τὴν συγχώρησιν ὡς μόνος ἀγαθός.

## *Στάσις γ'. Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.*

Αἱ γενεαί σε πᾶσαι,
τῶν Μαγνησιέων,
Γεράσιμε τιμῶμεν.

Ἄισματα ὡς μύρα,
Γεράσιμε θεόφρον,
προσφέρομεν σῇ μνήμῃ.

Βάρη πάσης νόσου,
καὶ ἀσθενείας αἶρε,
τῶν σὲ αἰτούντων, Πάτερ.

Γνῶσιν θείαν ἔνθες,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Γεράσιμε, εὐχαῖς σου,
ψυχαῖς πιστῶν σου τέκνων.

Δῶρον ἐκ Κυρίου,
ἐδόθης Ἐκκλησίᾳ,
Γεράσιμε τρισμάκαρ.

Ἔλυσας καὶ λύεις,
στείρωσιν ἀτεκνούντων,
Ὅσιε, σαῖς πρεσβείαις.

Ζῇς καὶ μετὰ πότμον,
Γεράσιμε, ὡς λέγει,
ὁ λόγος τοῦ Κυρίου.

Ἤσκησας ἐνθέως,
διὸ χάριν θαυμάτων,
Γεράσιμε, προχέεις.

Θεῷ εὐαρεστήσας,
Πάτερ, τῇ βιοτῇ σου,
νῦν ἔχεις παῤῥησίαν.

Ἰάτρευσον τὰς νόσους,
Γεράσιμε, σῶν τέκνων,
ψυχῆς καὶ σώματός τε.

Κήρυξ μετανοίας,
γενοῦ καὶ αὖθις, Πάτερ,
ἡμῖν Χριστὸν λυποῦσι.
Λύτρου τὴν Μονήν σου,
Γεράσιμε χριστόφρον,
ἐχθροῦ τῆς ἐπηρείας.

Μοναζούσαις δίδου,
τοῦ θείου σου σεμνείου,
τὴν ἄνω Βασιλείαν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νίκησον, ὦ Πάτερ,
ὁρμὴν τοῦ διαβόλου,
καὶ δὸς ἡμῖν εἰρήνην.

Ξένους ποίει κόσμου,
σὰ τέκνα, θεοφόρε,
οἰκείους δὲ Δεσπότου.

Ὅρμον ἀσφαλείας,
εὕρομεν τὴν Μονήν σου,
καὶ στάδιον ἁγνείας.

Πήλιον καυχᾶται,
καὶ χαίρει Μακρινίτσα,
Γεράσιμε, σῇ μνήμῃ.

Ῥῦσαι χριστωνύμους,
παγίδων τοῦ Βελίαρ,
Γεράσιμε, ταχέως.

Σοῦ τιμίαν Κάραν,
Γεράσιμε τιμῶμεν,
ὡς βρύσιν χαρισμάτων.
Τέκνα σου εὐλόγει,
ἅπερ τῷ σῷ οἴκῳ,
Γεράσιμε, οἰκοῦσιν.

Ὕψωσον σὰς χεῖρας,
Γεράσιμε, Κυρίῳ,
κατάγων εὐλογίας.

Φύλαξον κακίας,
τοῦ μισοκάλου, Πάτερ,
σὲ ἐπικαλουμένους.

Χρέος ἐκτελοῦμεν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

προσφέροντές σοι ὕμνους,
εὐγνώμονας, θεόφρον.

Ψάλλομεν συμφώνως,
τὸν θαυμαστόν σου βίον,
Γεράσιμε, καὶ ἆθλα.

Ὦ Ὁσίων κλέος,
Γεράσιμε, καὶ δόξα,
τὴν Μαγνησίαν σκέπε.

*Δόξα. Τριαδικόν.*

Πάτερ, Λόγε, Πνεῦμα,
δέξαι εὐηκόως,
λιτὰς τοῦ Γερασίμου.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα Κυρία,
σὺν θείῳ Γερασίμῳ,
πρεσβεύετε Δεσπότῃ.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Γεράσιμον τὸν θεῖον.*

Τῶν Ἀγγέλων τὰ πλήθη,
καθορῶντα σὸν βίον,
ὦ Γεράσιμε θεῖε,
κατεπλάγησαν σφοδρῶς,
πῶς σαρκὶ ὢν εἰσέτι,
ἔζης θαυμαστῶς,
βίον τὸν ἰσάγγελον,
καὶ Κυρίου,

ἐδίδασκες τὸ θέλημα.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ ἐμπλήσας σὸν Ὅσιον θαυμάτων.*

Τί τοὺς ὕμνους,
ὥσπερ μύρα εὔοσμα,
ἐν τῇ μνήμῃ τοῦ Ὁσίου,
Γερασίμου,
οἱ πιστοὶ προσᾴδετε,
ἐν Μονῇ τῆς Μακρινίτσης;
ἴδετε τὴν κάραν τὴν πάντιμον,
ἐξ ἧς βρύει,
θαυμάτων τὰ τεράστια.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ κοσμήσας Γεράσιμον τὸν νέον.*

Πλῆθος πολύ,
πανταχόθεν ἔδραμον,
πρὸς σεμνεῖόν σου ἐκ πόθου·
ὅθεν δίδου,
ὡς μισθὸν Γεράσιμε θεόφρον,
πλήρωσιν εὐχῶν,
καὶ τῶν νόσων ἴασιν,
ἔχεις γὰρ τὴν ἰσχύν,
ἐκ Κυρίου Ὅσιε.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ τιμήσας τοὺς πόνους Γερασίμου.*

Χριστοῦ πόθῳ παρθένοι,
τὴν Μονήν σου οἰκοῦσι,
καὶ δοξάζουσι,
μνήμην σου, ὦ Πάτερ·
ἀγγέλων ζωήν,
ἐκμιμούμεναι πᾶσαι,
καὶ τὴν σὴν εὐχὴν
ἔχουσαι Γεράσιμε,
Βασιλείαν,

οὐρανῶν ἐλπίζουσι.

*Δόξα. Τριαδικόν.*

Πάτερ, Λόγε καὶ Πνεῦμα,
ἡ Τριὰς ἡ ἁγία,
καὶ ὑπέρθεος φύσις,
Γερασίμου πρεσβείαις,
καταπέμψαις σὴν χάριν,
ὕμνοις καὶ ᾠδαῖς ,
τοῦτον ἑορτάζουσι,
καὶ σὴν δόξαν,
ἐνθέως μεγαλύνουσι.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε Παρθένε,
ἡ χαρὰ μοναζόντων,
σὺν σεπτῷ Γερασίμῳ,
τὴν Μονὴν Μακρινίτσης,
ἀεὶ σκέπετε ἄμφω,
καὶ μοναστριῶν,
τὸν χορὸν φυλάττετε,
ἐφ' ὑμᾶς γὰρ ἡμῶν,
τὰς ἐλπίδας ἔχομεν.

᾿Αλληλούϊα, ᾿Αλληλούϊα, ᾿Αλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ'.)

*Στίχοι*

*Γέρας δίδου, Δέσποτα, σῆς Βασιλείας*
*Ὅσοι μνήμην μέλπουσι σοῦ Γερασίμου.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ